ὕβριζ᾽· ἐμοῦ γὰρ ζῶντος οὐ κτενεῖς ποτε
τοὺς Ἡρακλείους παῖδας· οὐ τοσόνδε γῆς
ἔνερθ᾽ ἐκεῖνος κρύπτεται λιπὼν τέκνα.
ἐπεὶ σὺ μὲν γῆν τήνδε διολέσας ἔχεις,
ὁ δ᾽ ὠφελήσας ἀξίων οὐ τυγχάνει·
κἄπειτα πράσσω πόλλ᾽ ἐγώ, φίλους ἐμοὺς
θανόντας εὖ δρῶν οὗ φίλων μάλιστα δεῖ;
ὦ δεξιὰ χείρ, ὡς ποθεῖς λαβεῖν δόρυ,
ἐν δ᾽ ἀσθενείᾳ τὸν πόθον διώλεσας.
ἐπεί σ᾽ ἔπαυσ᾽ ἂν δοῦλον ἐννέποντά με,
καὶ τάσδε Θήβας εὐκλεῶς ᾠκήσαμεν,
ἐν αἷς σὺ χαίρεις. οὐ γὰρ εὖ φρονεῖ πόλις
στάσει νοσοῦσα καὶ κακοῖς βουλεύμασιν·
οὐ γάρ ποτ᾽ ἂν σὲ δεσπότην ἐκτήσατο.
ΜΕ. γέροντες, αἰνῶ· τῶν φίλων γὰρ οὕνεκα
ὀργὰς δικαίας τοὺς φίλους ἔχειν χρεών·
ἡμῶν δ᾽ ἕκατι δεσπόταις θυμούμενοι
πάθητε μηδέν. τῆς δ᾽ ἐμῆς, Ἀμφιτρύων,
γνώμης ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν.
ἐγὼ φιλῶ μὲν τέκνα· πῶς γὰρ οὐ φιλῶ
ἅτικτον, ἁμόχθησα; καὶ τὸ κατθανεῖν
δεινὸν νομίζω· τῷ δ᾽ ἀναγκαίῳ τρόπῳ
ὃς ἀντιτείνει, σκαιὸν ἡγοῦμαι βροτόν.
ἡμᾶς δ᾽ ἐπειδὴ δεῖ θανεῖν, θνήσκειν χρεὼν
μὴ πυρὶ καταξανθέντας, ἐχθροῖσιν γέλων
διδόντας, οὑμοὶ τοῦ θανεῖν μεῖζον κακόν·
ὀφείλομεν γὰρ πολλὰ δώμασιν καλά.
σὲ μὲν δόκησις ἔλαβεν εὐκλεὴς δορός,
ὥστ᾽ οὐκ ἀνεκτὸν δειλίας θανεῖν σ᾽ ὕπο,
οὑμὸς δ᾽ ἀμαρτύρητος εὐκλεὴς πόσις,
ὡς τούσδε παῖδας οὐκ ἂν ἐκσῶσαι θέλοι
δόξαν κακὴν λαβόντας· οἱ γὰρ εὐγενεῖς
κάμνουσι τοῖς αἰσχροῖσι τῶν τέκνων ὕπερ,
ἐμοί τε μίμημ᾽ ἀνδρὸς οὐκ ἀπωστέον.